www.e-rara.ch

# Poiēseis Homērou amphō hē te Ilias kai hē Odysseia, hypo te Iakōbou tou Mikyllou kai Iōacheimou Kamerariou, spoudaiōs pros tēn nyni ekdosin paraskeuastheisai

## Homerus

## [Basel], [1541]

## Universitätsbibliothek Basel

Persistent Link: https://doi.org/10.3931/e-rara-124317

Odysseias Y

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

Ὤιχετ' ἐποψόμενος Κακοΐλιον οὐκ ὀνομαστήν.
Ἔνθα κε λεξαίμην, σὺ δὲ λέξεο τῷδ' ἐνὶ οἴκῳ,
Ἢ χαμάδις στορέσας, ἢ τοὶ κατὰ δέμνια θέντων,
Ὣς εἰποῦσ' ἀνέβαιν' ὑπερώϊα σιγαλόεντα.
Οὐκ οἴη. ἅμα τῇ γε καὶ ἀμφίπολοι κίον ἄλλαι.
Ἐς δ' ὑπερῷ' ἀναβᾶσα σὺν ἀμφιπόλοισι γυναιξὶ,
Κλαῖεν ἔπειτ' Ὀδυσῆα φίλον πόσιν, ὄφρα οἱ ὕπνον
Ἡδὺν ἐπὶ βλεφάροισι βάλεν γλαυκῶπις Ἀθήνη.

ἐσί. ἐλεφαίροντα.] ἐξαπατῶσιν. ἔτυμα.] ἀληθῆ. ἀποσχήσει.] πόῤῥω καθέξει. πελέκεας.] τὰ σιδήρια τετρυπημένα. ἵστασκε.] ἵστα. δρυόχους.] κυρίως μὲν τοὺς πασσάλους ἐφ' ὧν τὴν τρόπιν τῶν καινουργουμένων πλοίων ἑξῆς δὲ μάλιστα οὗτοι τίθενται, ἕνεκα τοῦ ἴσην γενέσθαι τὴν ναῦν. νῦν δὲ ἐφ' ὧν ἐτίθει τοὺς πελέκεας. διαῤῥίπτασκε.] ἔῤῥιπτεν, ἐτόξευεν. ῥηΐτατα.] ῥᾳδίως, εὐκόλως. διοιστεύσει.] τοξεύσει, διαπεράσει. ἑποίμην.] ἀκολουθήσαιμι. νοσφισαμένη.] καταλιποῦσα. ἀνάβαλλε.] ὑπερτίθου. χυθάη.] ἐπιχυθῇ, ἐπέλθῃ. θέντων.] ἀποτεμένων, δηλονότι τῶν θεραπαινῶν.

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Υ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Βουλευθεὶς ἀνελεῖν Ὀδυσσεὺς τὰς μιγνυμένας τοῖς μνηστῆρσι θεραπαινίδας, καὶ μεταγνοὺς, διὰ τῆς ἑξῆς πρὸς Εὔμαιον καὶ Φιλοίτιον διαλέγεται, ἐν ᾧ καὶ τῶν μνηστήρων γίνεται ὁμιλία.

# ΟΔΥΣΣΕΙΑΣ Υ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Υ βροντᾷς Ζεὺς θάρσυν' Ὀδυσῆα, καὶ σχέθ' Ἀχαιούς.

Αὐτὰρ ὁ ἐν προδόμῳ εὐνάζετο δῖος Ὀδυσσεύς,
Κὰμ μὲν ἀδέψητον βοέην στόρεσ', αὐτὰρ ὕπερθε
Κώεα πόλλ' ὀΐων, τοὺς ἱερεύεσκον Ἀχαιοί
Εὐρυνόμη δ' ἄρ' ἐπὶ χλαῖναν βάλε κοιμηθέντι.
Ἔνθ' Ὀδυσεὺς μνηστῆρσι κακὰ φρονέων ἐνὶ θυμῷ,
Κεῖτ' ἐγρηγορόων, ταὶ δ' ἐκ μεγάροιο γυναῖκες
Ἤϊσαν, αἳ μνηστῆρσιν ἐμισγέσκοντο πάρος περ
Ἀλλήλῃσι γέλωτα καὶ εὐφροσύνην παρέχουσαι.
Τοῦ δ' ὠρίνετο θυμὸς ἐνὶ στήθεσι φίλοισι,
Πολλὰ δὲ μερμήριξε κατὰ φρένα καὶ κατὰ θυμόν,
Ἠὲ μεταΐξας θάνατον τεύξειεν ἑκάστῃ,
Ἦ ἔτ' ἐῷ μνηστῆρσιν ὑπερφιάλοισι μιγῆναι
Ὕστατα καὶ πύματα, κραδίη δέ οἱ ἔνδον ὑλάκτει,
Ὡς δὲ κύων ἀμαλῇσι περὶ σκυλάκεσσι βεβῶσα,
Ἄνδρ' ἀγνοιήσασ' ὑλάει, μέμονέν τε μάχεσθαι,
Ὥς ῥα τοῦ ἔνδον ὑλάκτει ἀγαιομένου κακὰ ἔργα.
Στῆθος δὲ πλήξας κραδίην ἠνίπαπε μύθῳ.
Τέτλαθι δὴ κραδίη, καὶ κύντερον ἄλλο ποτ' ἔτλης

Ἤματι

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Υ. ΤΟΥ Ὁμήρου ῥαψῳδίαν.

Εὐνάζετο.] ἀνεπαύετο. ἑαυτῷ εὐνὴν παρεσκεύαζεν. κάμμεν.] κατὰ μέν. ἀδέψητον.] ἀνέργαστον, ἀμάλακτον. ὠρίνετο.] ἐθυμοῦτο. ὑλάκτει.] συνεχῶς, ἐκινεῖτο.

ἀμαλῇσιν.] ἁπαλαῖς. βεβῶσα.] ἑστῶσα. ἀγνοιήσασα.] ἀγνοούμενον ἰδοῦσα. ἀγαιομένου.] ἄγαν θαυμάζοντος ἢ χαλεπαίνοντος. ἠνίπαπε.] ἐνουθέτησεν. καθαπτόμενος φίλον ἦτορ.] καταστέλλων, τὴν ἀπόστασιν ποιούμενος εἰς τὴν ψυχήν. ὥστε αὐτὴν ἅψασθαι τὰ λεγόμενα.

ἐν πάσῃ.]

ἐν πείσῃ.] ἀντὶ τοῦ κατὰ χώραν οὐκ ἔστιν ἣν ἐν καὶ νήσει, ἀλλ' ἐνδεσμοῖς ἔμενεν. ἢ ἐν οἷς ἐπέπειστο καὶ ἐγνώκει. οἷον οὐκ ἔμελλεν αὐτῷ. τετληυῖα.] καρτεροῦσα. νωλεμέως.] συνεχῶς. ἑλίσσετο.] ἐκυλίετο. ἐστρέφετο. αἰόλλει.] ποικίλως στρέφῃ ἢ κινεῖ. ἐγρήσσεις.] γρηγορεῖς. ἀολλέες.] ἀντὶ τοῦ πολλοί. λόχοι.] τῶν πολεμίων συστήματα. ἄρηϊ.] ἄρης νῦν ὁ σίδηρος. ἑλέτω σε καὶ ὕπνος.] ἀντὶ τοῦ κοιμήθητι. ἀνίη καὶ τὸ φυλάσσειν.] ἀνία ἐστὶ καὶ τὸ δι' ὅλης νυκτὸς ἀγρυπνεῖν. κακῶν δ' ὑποδύσεαι.] κάκωσιν ὑπεισέλθῃς. ἤδη.] παραυτίκα. ἀψορρόου ὠκεανοῖο.] τοῦ κύκλῳ περινοστοῦντος τὴν γῆν, καὶ ἂψ πάλιν ἐπὶ τὰ αὐτὰ ἀφικνουμένου. ἔμαρπτε.] κατέλαβεν. ἢ ἔπειτα.] νῦν ἀντὶ τοῦ παραυτίκα. ἠερόεντα κέλευθα.] τὸν ἀέρα ἢ τὸν ᾅδην. προχοῆς.] τοῖς ῥεύμασιν.

Ἤματι τῷ, ὅτε τοι μένος ἄσχετος ἤσθιε Κύκλωψ
Ἰφθίμους ἑτάρους, σὺ δ' ἐτόλμας, ὄφρα σε μῆτις
Ἐξάγαγ' ἐξ ἄντροιο ὀϊόμενον θανέεσθαι.
Ὣς ἔφατ' ἐν στήθεσσι καθαπτόμενος φίλον ἦτορ
Τῷ δὲ, μάλ' ἐν πείσῃ κραδίη μένε τετληυῖα
Νωλεμέως, ἀτὰρ αὐτὸς ἑλίσσετο ἔνθα καὶ ἔνθα.
Ὡς δ' ὅτε γαστέρ' ἀνὴρ πολέος πυρὸς αἰθομένοιο
Ἐμπλείην κνίσης τε καὶ αἵματος ἔνθα καὶ ἔνθα
Αἰόλλει, μάλα δ' ὦκα λιλαίεται ὀπτηθῆναι,
Ὣς ἄρ' ὅ γ' ἔνθα καὶ ἔνθα ἑλίσσετο μερμηρίζων,
Ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει,
Μοῦνος ἐὼν πολέσιν. σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη,
Οὐρανόθεν καταβᾶσα, δέμας δ' ἤϊκτο γυναικί.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς καί μιν πρὸς μῦθον ἔειπε.
Τίπτ' αὖτ' ἐγρήσσεις πάντων περὶ κάμμορε φωτῶν.
Οἶκος μέν τοι ὅδ' ἐστὶ, γυνὴ δέ τοι ἥδ' ἐνὶ οἴκῳ,
Καὶ πάϊς, οἷόν πού τις ἐέλδεται ἔμμεναι υἷα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσ-(σεύς.
Ναὶ δὴ ταῦτά γε πάντα θεὰ κατὰ μοῖραν ἔειπες.
Ἀλλά τί μοι τόδε θυμὸς ἐνὶ φρεσὶ μερμηρίζει,
Ὅππως δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσω
Μοῦνος ἐὼν, οἱ δ' αἰὲν ἀολλέες ἔνδον ἔασι.
Πρὸς δ' ἔτι καὶ τόδε μεῖζον ἐνὶ φρεσὶ μερμηρίζω.
Εἴπερ γὰρ κτείναιμι Διός τε σέθεν τ' ἕκητι,
Πῇ κεν ὑπεκπροφύγοιμι, τὰ σὲ φράζεσθαι ἄνωγα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Σχέτλιε, καὶ μέν τίς τε χερείονι πείθεθ' ἑταίρῳ,
Ὅς περ θνητός τ' ἐστὶ καὶ οὐ τόσα μήδεα οἶδε.
Αὐτὰρ ἐγὼ θεός εἰμι διαμπερὲς, ἥ σε φυλάσσω
Ἐν πάντεσσι πόνοισιν, ἐρέω δέ τοι ἐξαναφανδόν.
Εἴπερ πεντήκοντα λόχοι μερόπων ἀνθρώπων
Νῶϊ περισταῖεν κτεῖναι μεμαῶτες ἄρηϊ,
Καί κεν τῶν ἐλάσαιο βόας καὶ ἴφια μῆλα.
Ἀλλ' ἑλέτω σε καὶ ὕπνος, ἀνίη καὶ τὸ φυλάσσειν
Πάννυχον ἐγρήσσοντα, κακῶν δ' ὑποδύσεαι ἤδη.
Ὣς φάτο, καί ῥά οἱ ὕπνον ἐπὶ βλεφάροισιν ἔχευεν.
Αὐτὴ δ' ἂψ ἐς Ὄλυμπον ἀφίκετο δῖα θεάων,
Εὖτε τὸν ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμοῦ
Λυσιμελὴς, ἄλοχος δ' ἄρ ἐπέγρετο κεδνὰ ἰδυῖα.
Κλαῖε δ' ἄρ ἐν λέκτροισι καθεζομένη μαλακοῖσιν.
Αὐτὰρ ἐπεὶ κλαίουσα κορέσσατο ὃν κατὰ θυμόν.
Ἀρτέμιδι πρώτιστον ἐπεύξατο δῖα θεάων.
Ἄρτεμι πότνα θεὰ Διὸς θύγατερ, αἴθε μοι ἤδη
Ἰὸν ἐνὶ στήθεσσι βαλοῦσ' ἐκ θυμὸν ἕλοιο
Αὐτίκα νῦν, ἢ ἔπειτά μ' ἀναρπάξασα θύελλα
Οἴχοιτο προφέρουσα κατ' ἠερόεντα κέλευθα,
Ἐν προχοῇς δὲ βάλοι ἀψορρόου ὠκεανοῖο.

ὡς δ' ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι τῇσι τοκῆας μὲν φθῖσαν θεοί, αἱ δὲ λίποντο ὀρφαναὶ ἐν μεγάροισι, κόμισε δὲ δῖ' Ἀφροδίτη τυρῷ καὶ μέλιτι γλυκερῷ καὶ ἡδέϊ οἴνῳ, Ἥρη δ' αὐτῇσι περὶ πασέων, δῶκε γυναικῶν εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή.] Πανδάρεως ὁ Μέροπος καὶ νύμφης Ὀρείας παῖς, Μιλήσιος τὸ γένος γήμας Ἁρμαθόην τὴν Ἀμφιδάμαντος, ἴσχει παῖδας τρεῖς, Ἀήδονα καὶ Κλεοθήραν καὶ Μερόπην. ἃς τρέφουσιν Ἀφροδίτη καὶ Ἀθηνᾶ καὶ Ἥρα. Πανδάρεως δὲ παραγενόμενος εἰς Κρήτην κλέπτει

Ὡς δ' ὅτε

Ως ὅτε Πανδαρέου κούρας ἀνέλοντο θύελλαι
Τῇσι τοκῆας μὲν φθῖσαν θεοί, αἱ δ' ἐλίποντο
Ορφαναὶ ἐν μεγάροισι, κόμισσε δὲ δῖ' Ἀφροδίτη
Τυρῷ, καὶ μέλιτι γλυκερῷ, καὶ ἡδέϊ οἴνῳ.
Ηρη δ' αὐτῇσιν περὶ πασέων δῶκε γυναικῶν
Εἶδος καὶ πινυτήν, μῆκος δ' ἔπορ' Ἄρτεμις ἁγνή.
Εργα δ' Ἀθηναίη δέδαε κλυτὰ ἐργάζεσθαι,
Εὖτ' Ἀφροδίτη δῖα προσέστιχε μακρὸν Ὄλυμπον
Κούρῃς αἰτήσουσα τέλος γλυκεροῖο γάμοιο,
Ες Δία τερπικέραυνον, ὁ γὰρ εὖ οἶδεν ἅπαντα,
Μοῖράν τ' ἀμμορίην τε, κατὰ θνητῶν ἀνθρώπων.
Τόφρα δὲ τὰς κούρας ἅρπυιαι ἀνηρέψαντο,
Καί ῥ' ἔδοσαν στυγερῇσιν ἐριννύσιν ἀμφιπολεύειν.
Ως ἔμ' ἀϊστώσειαν ὀλύμπια δώματ' ἔχοντες.
Ηέ μ' ἐϋπλόκαμος βάλοι Ἄρτεμις ὄφρ' Ὀδυσῆα
Οσσομένη, καὶ γαῖαν ὕπο στυγερὴν ἀφικοίμην,
Μηδέ τι χείρονος ἀνδρὸς ἐϋφραίνοιμι νόημα.
Αλλὰ τὸ μὲν καὶ ἀνεκτὸν ἔχει κακὸν ὁππότε κέν τις
Ηματα μὲν κλαίῃ πυκινῶς ἀκαχήμενος ἦτορ,
Νύκτας δ' ὕπνος ἔχῃσιν, ὁ γάρ τ' ἐπέλησεν ἁπάντων
Εσθλῶν ἠδὲ κακῶν, ἐπεὶ ἂρ βλέφαρ' ἀμφικαλύψῃ,
Αὐτὰρ ἐμοὶ καὶ ὀνείρατ' ἐπέσσευεν κακὰ δαίμων.
Τῇδε γάρ μοι νυκτὶ παρέδραθεν εἴκελος αὐτῷ,
Τοῖος ἐών, οἷος ἦεν ἅμα στρατῷ, αὐτὰρ ἐμὸν κῆρ
Χαῖρ' ἐπεὶ οὐκ ἐφάμην ὄναρ ἔμμεναι, ἀλλ' ὕπαρ ἤδη.
Ως ἔφατ', αὐτίκα δὲ χρυσόθρονος ἤλυθεν ἠώς.
Τῆς δ' ἄρα κλαιούσης, ὄπα σύνθετο δῖος Ὀδυσσεύς
Μερμήριξε δ' ἔπειτα, δόκησε δέ οἱ κατὰ θυμὸν
Ηδη γινώσκουσα παρεστάμεναι κεφαλῆφι.
Χλαῖναν μὲν συνελὼν καὶ κώεα τοῖσιν ἐνεῦδεν,
Ες μέγαρον κατέθηκεν ἐπὶ θρόνου, ἐκ δὲ βοείην
Θῆκε θύραζε φέρων, Διὶ δ' εὔχετο χεῖρας ἀνασχών.
Ζεῦ πάτερ, εἴ μ' ἐθέλοντες ἐπὶ τραφερήν τε καὶ ὑγρὴν
Ηγετ' ἐμὴν ἐς γαῖαν, ἐπεί μ' ἐκακώσατε λίην,
Φήμην τίς μοι φάσθω ἐγειρομένων ἀνθρώπων
Ενδοθεν, ἔκτοσθεν δὲ Διὸς τέρας ἄλλο φανήτω.
Ως ἔφατ' εὐχόμενος, τοῦ δ' ἔκλυε μητίετα Ζεύς.
Αὐτίκα δ' ἐβρόντησεν ἀπ' αἰγλήεντος ὀλύμπου
Υψόθεν ἐκ νεφέων, γήθησε δὲ δῖος Ὀδυσσεύς.
Φήμην δ' ἐξ οἴκοιο γυνὴ προέηκεν ἀλετρὶς
Πλησίον, ἔνθ' ἄρα οἱ μύλαι εἵατο ποιμένι λαῶν.
Τῇσιν δώδεκα πᾶσαι ἐπερρώοντο γυναῖκες.
Αλφιτα τεύχουσαι καὶ ἀλείφατα, μυελὸν ἀνδρῶν.
Αἱ μὲν ἄρ' ἄλλαι εὗδον, ἐπεὶ κατὰ πυρὸν ἄλεσσαν.
Ηδὲ μί' οὔπω παύετ', ἀφαυροτάτη δ' ἐτέτυκτο.
Η ῥα μύλην στήσασα ἔπος φάτο σῆμα ἄνακτι.
Ζεῦ πάτερ ὅς τε θεοῖσι καὶ ἀνθρώποισιν ἀνάσσεις,
Η μεγάλ'

κλέπτει τὸν τοῦ Διὸς κύνα. καὶ αὐτὸν ἐκ ἤνεγκεν εἰς Μίλητον δείσας τὸν Δία παρὰ Ταντάλῳ δὲ εἰς Φρυγίαν κατατίθεται, φάμενος ἄγειν ἐκ Φοινίκης τοῦτον. ὁ δὲ Τάνταλος δεξάμενος ἐφύλασσεν. ἔπειτα κελεύσαντος Διὸς ἐρευνᾶν τὸν κύνα, παραγίνεται πρὸς Τάνταλον. ὁ δὲ ἀρνεῖται καὶ ὄμνυσι τὸν Δία καὶ τοὺς ἄλλους θεούς, μὴ συνειδέναι τί περὶ τοῦ κυνός. ὁ δ' Ἑρμῆς εὑρίσκει αὐτὸν παρ' αὐτῷ. ὡς δὲ ὁ Πανδάρεως ἐπύθετο, φεύγει ἐκ τῆς πατρίδος σὺν τῇ γυναικὶ Ἁρμαθοῇ, καὶ ταῖς θυγατράσιν ἀγάμοις οὔσαις Κλεοθήρατε καὶ Αηδόνι καὶ Μερόπῃ, εἰς Ἀθήνας. ἐκ δὲ Ἀθηνῶν εἰς Σικελίαν. ὁ δὲ Ζεὺς αὐτὸν ἰδὼν κτάνει σὺν τῇ γυναικί. ταῖς δὲ θυγατράσιν αὐτοῦ τὰς ἁρπυίας ἐφορμᾷ. αἱ δὲ ἀναλόμεναι ἐριννύσιν αὐτὰς διδόασιν, οὐ μὴν ἀλλὰ καὶ νόσον αὐταῖς ἐμβάλλει Ζεύς, καλεῖται δὲ αὕτη κύων. αἱ δὲ λίποντο ὀρφαναί.] προσέθηκε τὸ κεφάλαιον. ὕστερον γὰρ συνέβη. καὶ γὰρ οὐκ ὀρφανὰς αὐτὰς ἀνεθρέψατο ἡ Ἀφροδίτη, ἀλλὰ πρὸ τῆς ὀρφανείας. τὸ δὲ ἑξῆς τοῦ λόγου, τῇσι τοκῆας μὲν φθῖσαν θεοί. Ἀφροδίτη δὲ πρὸς Δία, αἰτήσασα αὐταῖς γάμον, παρεγίνετο. ἐν δὲ τούτῳ Ἅρπυιαι αὐτὰς ἀνηρέψαντο. δι' ἔλεον δὲ αὐτὰς αἱ θεαὶ ἀνεθρέψαντο, ἀγνοοῦσαι τὸ πεπρωμένον. μόνος γὰρ ὁ Ζεὺς οἶδε μοῖραν τ' ἀμμορίην τε ὁμοίως. μῆκος δ' ἔπορε.] κουροτρόφος γὰρ ἡ θεὸς τῷ ἀδελφῷ Ἀπόλλωνι. μοῖραν.] εὐμορίαν, εὐδαιμονίαν. ἀμμορίην.] κακομορίην. ὅ ἐστι κακομοιρίαν. στυγερῇσιν.] στυγνότητος αἰτίαις. ἀμφιπολεύειν.] ἐνεργεῖν. ἀνεκτόν.] ἀνασχετόν. ἐπέλησεν.] λήθην ἐπήγαγεν. συνελών.] συναγαγών. θύραζε φέρων.] ἐνταῦθα οἱ μνηστῆρες. φήμην.] κληδόνα οἰωνόν. φάσθω.] εἰπάτω. ὑψόθεν ἐκ νεφέων.] πῶς οὖν φησὶν ἡ ἀλετρίς. οὐδέποτε νέφος ἐστί. νῦν τὸν τόπον ἔφη Ἀττικῶς, ἐν ᾧ εἴωθε συνίστασθαι τὰ νέφη. ἢ τῶν χρυσῶν νεφῶν ἃ ἦν ἐν οὐρανῷ ὡς, ἀλλ' οὐ γὰρ ἄκρῳ ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσιν. εἵατο.] ψιλῶς ἦν ἢ ἦσαν. ἐπερρώοντο.] ἐρρωμένως ἐνήργουν. τεύχουσαι.] ποιοῦσαι. ἀλείφατα.] τὰ ἐκ τῶν πυρῶν ἄλευρα. ἄλεσαν.] ἤλεσαν.

ἐβρόντησε

ἐβροντήσας ἀπ' οὐρανοῦ. οὕτως ἡ ἀλετρὶς φησὶν κατὰ τὴν κοινὴν ὑπόνοιαν. ἢ ὅτι τὰ ὑψηλὰ τοῦ ὀλύμπου ἐπουράνια. ἐστί. τέω.] τινί. κρῆνον.] ἐπιτέλεσον. ἑλοίατο.] μεταλάβοιεν. ἀλετάς.] τοὺς ἡμαρτηκότας. εὐνῆθεν.] ἐκ τῆς εὐνῆς. ἢ κοίτης. ἀκηδής.] ἀτημέλητος. ἐμπληγδήν.] ἐκπληκτικῶς ἢ ἀκρίτως, καὶ ὡς ἂν τύχῃ ἐν τῷ λάζεσθαι τοῖς πράγμασι. σίτου δ' οὐκ ἔτ' ἔφη.] κατὰ τὸ σιωπώμενον ἐνδεέστερον τοῦτο. ἐπιέσαμεν.] ἐπεσκεπάσαμεν. ἀγρεῖτε.] συναθροίζεσθε.

κορήσατε.] σαρώσατε. εἴρηται δὲ κατὰ ἀντίφρασιν, ὡς καὶ τὸ σάρον ὄφελμα καλεῖται οὐκ αὔξοντι ἀλλὰ τοὐναντίον παραιρούμενον καὶ μειοῦντι. ποιπνύσασαι.] σπουδαίως ἐνεργήσασαι. ῥάσσατε.] ῥάνατε. ἀμφιμάσασθε.] ἀπομάξετε. ἐπεὶ καὶ πᾶσιν ἑορτή.] ταύτην τὴν ἡμέραν ἑορτὴν καὶ νουμηνίαν παρατίθεται Ἀπόλλωνος ἱεράν. ἵνα τῶν ἀνδρῶν περὶ τὴν ἑορτὴν καταγινομένων, εὔκαιρον ἔχῃ τὸ ἐπιτίθεσθαι μνηστῆρσι. οὐ γὰρ δὴ μνηστῆρες ἀπέσσονται μεγάροιο, ἀλλὰ μάλα ἠρινέονται. ἐπεὶ καὶ πᾶσιν ἑορτή.] τὴν νεομηνίαν πάντων τῶν θεῶν νομίζουσιν εἶναι. ταύτην γὰρ οἱ πρόγονοι τοῖς θεοῖς ἀνέθεσαν. διὰ τὸ πρώτην αὐτὴν εἶναι τοῦ μηνός. πάσας τε τὰς ἀρχὰς προσῆψαν αὐτοῖς ὀρθῶς ποιοῦντες, τοὺς γὰρ ἁπάντων ἄρχοντας ὁμοίους χρὴ γεραίρειν.

καὶ τῶν σίτων τὰς ἀπαρχὰς πᾶσι τοῖς θεοῖς ἀπονέμομεν, τῷ δ' Ἀπόλλωνος ταύτην εἶναι νομίζειν τὴν ἡμέραν εἰκότως τὸ πρῶτον φῶς τῷ αἰτιωτάτῳ τοῦ πυρός. ἐκάλουν τε αὐτὸν καὶ νεομήνιον, ἡ ἱστορία παρὰ Φιλοχόρῳ. νεμέσθαι.] διατρίβειν. μᾶλλον εἰσορόωσι.] προσκυνοῦσ' ὁρῶσιν.

ἐδ'

Ἦ μεγάλ' ἐβρόντησας ἀπ' οὐρανοῦ ἀστερόεντος,
Οὐδέ ποθι νέφος ἐστὶ τέρας νυ τέῳ τόδε φαίνεις.
Κρῆνον νῦν καὶ ἐμοὶ δειλῇ ἔπος ὅττι κεν εἴπω
Μνηστῆρες πύματόν τε καὶ ὕστατον ἤματι τῷδε
Ἐν μεγάροις Ὀδυσῆος ἑλοίατο δαῖτ' ἐρατεινήν.
Οἳ δή μοι καμάτῳ θυμαλγέϊ γούνατ' ἔλυσαν
Ἄλφιτα τευχούσῃ, νῦν ὕστατα δειπνήσειαν.
Ὣς ἄρ' ἔφη, χαῖρε δὲ κλεηδόνι δῖος Ὀδυσεύς
Ζηνός τε βροντῇ, φάτο γὰρ τίσασθαι ἀλείτας.
Αἱ δ' ἄλλαι δμωαὶ κατὰ δώματα κάλ' Ὀδυσῆος
Ἀγρόμεναι ἀνέκαιον ἐπ' ἐσχάρῃ ἀκάματον πῦρ.
Τηλέμαχος δ' εὐνῆθεν ἀνίστατο ἰσόθεος φώς
Εἵματα ἑσσάμενος, περὶ δὲ ξίφος ὀξὺ θέτ' ὤμῳ,
Ποσσὶ δ' ὑπὸ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα,
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ,
Στῆ δ' ἄρ' ἐπ' οὐδὸν ἰών, πρὸς δ' Εὐρύκλειαν ἔειπεν.
Μαῖα φίλη, τὸν ξεῖνον ἐτιμήσασθ' ἐνὶ οἴκῳ
Εὐνῇ καὶ σίτῳ, ἢ αὔτως κεῖται ἀκηδής,
Τοιαύτη γὰρ ἐμοὶ μήτηρ πινυτή περ ἐοῦσα
Ἐμπλήγδην ἕτερόν γε τίει μερόπων ἀνθρώπων
Χείρονα, τὸν δέ τ' ἀρείον' ἀτιμήσασ' ἀποπέμπει.
Τὸν δ' αὖτε προσέειπε περίφρων Εὐρύκλεια.
Οὐκ ἄν μιν νῦν τέκνον ἀναίτιον αἰτιόῳο,
Οἶνον μὲν γὰρ πῖνε καθήμενος ὄφρ' ἔθελ' αὐτός.
Σίτου δ' οὐκ ἔτ' ἔφη πεινήμεναι, εἴρετο γάρ μιν.
Ἀλλ' ὅτε δὴ κοίτοιο καὶ ὕπνου μιμνήσκοιτο,
Ἡ μὲν δέμνι' ἄνωγεν ὑποστορέσαι δμῳῇσιν,
Αὐτὰρ ὅγ' ὥς τις πάμπαν ὀϊζυρὸς καὶ ἄποτμος,
Οὐκ ἔθελ' ἐν λέκτροισι καὶ ἐν ῥήγεσι καθεύδειν.
Ἀλλ' ἐν ἀδεψήτῳ βοέῃ καὶ κώεσιν οἰῶν
Ἔδραθεν ἐν προδόμῳ, χλαῖναν δ' ἐπιέσσαμεν ἡμεῖς.
Ὣς φάτο, Τηλέμαχος δὲ διὲκ μεγάροιο βεβήκει,
Ἔγχος ἔχων, ἅμα τῷ γε κύνες πόδας ἀργοὶ ἕποντο.
Βῆ δ' ἴμεν εἰς ἀγορὴν μετ' ἐϋκνήμιδας Ἀχαιούς.
Ἡ δ' αὖτε δμῳῇσιν ἐκέκλετο δῖα γυναικῶν
Εὐρύκλει' Ὦπος θυγάτηρ Πεισηνορίδαο.
Ἀγρεῖθ', αἱ μὲν δῶμα κορήσατε ποιπνύσασαι,
Ῥάσσατέ τ', ἐν δὲ θρόνοισιν εὐποιήτοισι τάπητας
Βάλλετε πορφυρέους, αἱ δὲ σπόγγοισι τραπέζας
Πάσας ἀμφιμάσασθε, καθήρατε δὲ κρητῆρας,
Καὶ δέπα ἀμφικύπελλα τετυγμένα, ταὶ δὲ μεθ' ὕδωρ
Ἔρχεσθε κρήνηνδε, καὶ οἴσετε θᾶσσον ἰοῦσαι.
Οὐ γὰρ δὴ μνηστῆρες ἀπέσσονται μεγάροιο.
Ἀλλὰ μάλ' ἦρι νέονται, ἐπεὶ καὶ πᾶσιν ἑορτή.
Ὣς ἔφαθ', αἱ δ' ἄρα τῆς μάλα μὲν κλύον ἠδ' ἐπίθοντο
Αἱ μὲν ἐείκοσι βῆσαν ἐπὶ κρήνην μελάνυδρον,

Αἱ δ'

Αἱ δ' αὐταὶ κατὰ δῶμα ἐπισταμένως πονέοντο.
Ἐς δ' ἦλθον μνηστῆρες ἀγήνορες, οἱ μὲν ἔπειτα,
Εὖ καὶ ἐπισταμένως κέασαν ξύλα, αἱ δὲ γυναῖκες
Ἦλθον ἀπὸ κρήνης, ἐπὶ δέ σφισιν ἦλθε συβώτης,
Τρεῖς σιάλους κατάγων, οἳ ἔσαν ἐν πᾶσιν ἄριστοι.
Καὶ τοὺς μέν ῥ' εἴασε καθ' ἕρκεα καλὰ νέμεσθαι.
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα μειλιχίοισι.
Ξεῖν' ἦ ἄρ τί σε μᾶλλον Ἀχαιοὶ εἰσορόωσιν,
Ἦε σ' ἀτιμάζουσι κατὰ μέγαρ', ὡς τὸ πάρος περ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς.
Αἲ γὰρ δὴ Εὔμαιε θεοὶ τισαίατο λώβην,
Ἣν οἵδ' ὑβρίζοντες ἀεικέα μηχανόωνται
Οἴκῳ ἐν ἀλλοτρίῳ, οὐδ' αἰδοῦς μοῖραν ἔχουσιν.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Ἀγχίμολον δέ σφ' ἦλθε Μελάνθιος αἰπόλος αἰγῶν,
Αἶγας ἄγων, αἳ πᾶσι μετέπρεπον αἰπολίοισι,
Δεῖπνον μνηστήρεσσι, δύω δ' ἅμ' ἕποντο νομῆες,
Καὶ τὰς μὲν κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ.
Αὐτὸς δ' αὖτ' Ὀδυσῆα προσηύδα κερτομίοισι.
Ξεῖν' ἔτι καὶ νῦν ἐνθάδ' ἀνιήσεις κατὰ δῶμα,
Ἀνέρας αἰτίζων, ἀτὰρ οὐκ ἔξεισθα θύραζε,
Πάντως οὐκέτι νῶϊ διακρινέεσθαι ὀΐω,
Πρὶν χειρῶν γεύσασθαι, ἐπεὶ σύ περ οὐ κατὰ κόσμον
Αἰτίζεις, εἰσὶ δὲ καὶ ἄλλαι δαῖτες Ἀχαιῶν.
Ὣς φάτο, τὸν δ' οὔτι προσέφη πολύμητις Ὀδυσσεύς,
Ἀλλ' ἀκέων κίνησε κάρη κακὰ βυσσοδομεύων.
Τοῖσι δ' ἐπὶ τρίτος ἦλθε Φιλοίτιος ὄρχαμος ἀνδρῶν,
Βοῦν στεῖραν μνηστῆρσιν ἄγων καὶ πίονας αἶγας.
Πορθμῆες δ' ἄρα τούς γε διήγαγον, οἵ τε καὶ ἄλλους
Ἀνθρώπους πέμπουσιν, ὅτις σφέας εἰσαφίκηται.
Καὶ τὰ μὲν εὖ κατέδησεν ὑπ' αἰθούσῃ ἐριδούπῳ.
Αὐτὸς δ' αὖτ' ἐρέεινε συβώτην ἄγχι παραστάς.
Τίς δὴ ὅδε ξεῖνος, νέον εἰλήλουθε συβῶτα
Ἡμέτερον πρὸς δῶμα, τέων δ' ἐξ εὔχεται εἶναι
Ἀνδρῶν, ποῦ δέ νύ οἱ γενεὴ καὶ πατρὶς ἄρουρα,
Δύσμορος, ἦ τε ἔοικε δέμας βασιλῆϊ ἄνακτι,
Ἀλλὰ θεοὶ δυόωσι πολυπλάγκτους ἀνθρώπους,
Ὁππότε καὶ βασιλεῦσιν ἐπικλώθωνται ὀϊζύν.
Ἦ, καὶ δεξιτερῇ δειδίσκετο χειρὶ παραστάς,
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα,
Χαῖρε πάτερ ὦ ξεῖνε, γένοιτό τοι ὥσπερ ὀπίσσω
Ὄλβος, ἀτὰρ μὲν νῦν γε κακοῖς ἔχεαι πολλοῖσιν,
Ζεῦ πάτερ, οὔτις σεῖο θεῶν ὀλοώτερος ἄλλος,
Οὐκ ἐλεαίρεις ἄνδρας, ἐπὴν δὴ γείνεαι αὐτός,
Μισγέμεναι κακότητι καὶ ἄλγεσι λευγαλέοισιν,
Ἴδιον ὡς ἐνόησα, δεδάκρυνται δέ μοι ὄσσε

Μνησα-

οὐδ' αἰδοῦς μοῖραν ἔχουσι.] οὐδ' ὀλίγον αἰδοῦνται. πάντως.] παντὶ τρόπῳ. γεύσασθαι.] πειραθῆναι. εἰσὶ δὲ καὶ ἄλλοθι.] οὐ διαπαντός, ἀλλ' ὁρᾷ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος. πορθμῆες.] οἱ παραφέροντες. δυόωσιν.] εἰς κάκωσιν μεταβάλλουσιν. ἐπὴν δὴ γείνεαι.] καθ' ὃ πατὴρ ἀνδρῶν τε θεῶν τε. γείνεαι.] γεννήσεις. ἴδιον.] ἵδρωσα ἀγωνιάσα.

λαίφεα.]

λαίφεα.] ῥάκη, ἢ λεπτὰ ἱμάτια. ὑποσταχύοιτο.] ἐπαύξοιτο. ἀγινέμεναι.] ἄγειν, κομίζειν. πολλ᾽ ἐπιδινεῖται.] ἐν τοῖς στήθεσιν ἀνακυκλᾶ ὁ λογισμὸς. πολλὰς στροφὰς λαμβάνει. πινυτὴ.] σύνεσις. οἱ δ᾽ ἱέρευον ὄϊς.] παρατηρητέον ὅτι μόνους τοὺς μνηστῆρας θεοῖς θύοντας οὐκ οἶδεν.

δύμιος.]

Μνησαμένῳ Ὀδυσῆος, ἐπεὶ καὶ κεῖνον ὀΐω
Τοιάδε λαίφε᾽ ἔχοντα κατ᾽ ἀνθρώπους ἀλάλησθαι,
Εἴπου ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο.
Εἰ δ᾽ ἤδη τέθνηκε, καὶ ἐν ἀΐδαο δόμοισιν,
Ὤ μοι ἔπειτ᾽ Ὀδυσῆος ἀμύμονος, ὅς μ᾽ ἐπὶ βουσὶν
Εἷσ᾽ ἔτι τυτθὸν ἐόντα Κεφαλλήνων ἐνὶ δήμῳ.
Νῦν δ᾽ αἱ μὲν γίνονται ἀθέσφατοι, οὐδέ κεν ἄλλως
Ἀνδρί γ᾽ ὑποσταχύοιτο βοῶν γένος εὐρυμετώπων.
Τὰς δ᾽ ἄλλοι με κέλονται ἀγινέμεναι σφίσιν αὐτοῖς,
Ἔδμεναι, οὐδέ τι παιδὸς ἐνὶ μεγάροις ἀλέγουσιν,
Οὐδ᾽ ὄπιδα τρομέουσι θεῶν, μεμάασι γὰρ ἤδη
Κτήματα δάσσασθαι δὴν οἰχομένοιο ἄνακτος.
Αὐτὰρ ἐμοὶ τόδε θυμὸς ἐνὶ στήθεσσι φίλοισι
Πόλλ᾽ ἐπιδινεῖται, μάλα μὲν κακὸν υἱὸς ἐόντος
Ἄλλων δῆμον ἱκέσθαι ἰόντ᾽ αὐτοῖσι βόεσσιν
Ἄνδρας ἐς ἀλλοδαπούς, τὸ δὲ ῥίγιον αὖθι μένοντα,
Βουσὶν ἐπ᾽ ἀλλοτρίῃσιν καθήμενον ἄλγεα πάσχειν.
Καί κεν δὴ πάλαι ἄλλων ὑπερμενέων βασιλήων
Ἐξικόμην φεύγων, ἐπεὶ οὐκέτ᾽ ἀνεκτὰ πέλονται.
Ἀλλ᾽ ἔτι τὸν δύστηνον ὀΐομαι, εἴ ποθεν ἐλθὼν
Ἀνδρῶν μνηστήρων σκέδασιν κατὰ δώματα θείη.
Τὸν δ᾽ ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς
Βουκόλε, ἐπεὶ οὔτε κακῷ οὔτ᾽ ἄφρονι φωτὶ ἔοικας
Γινώσκω δὲ καὶ αὐτὸς ὅ τοι πινυτὴ φρένας ἵκει.
Τοὔνεκά τοι ἐρέω καὶ ἐπὶ μέγαν ὅρκον ὀμοῦμαι.
Ἴστω νῦν Ζεὺς πρῶτα θεῶν, ξενίη τε τράπεζα,
Ἱστίη τ᾽ Ὀδυσῆος ἀμύμονος ἣν ἀφικάνω,
Ἦ σέθεν ἐνθάδ᾽ ἐόντος ἐλεύσεται οἴκαδ᾽ Ὀδυσσεύς.
Σοῖσιν δ᾽ ὀφθαλμοῖσιν ἐπόψεαι αἴ κε θέλῃσθα
Κτεινομένους μνηστῆρας, οἳ ἐνθάδε κοιρανέουσι.
Τὸν δ᾽ αὖτε προσέειπε βοῶν ἐπιβουκόλος ἀνήρ.
Αἲ γὰρ τοῦτο ξεῖνε ἔπος τελέσειε Κρονίων,
Γνοίης οἵη ἐμὴ δύναμις καὶ χεῖρες ἕπονται.
Ὣς δ᾽ αὔτως Εὔμαιος ἐπεύξατο πᾶσι θεοῖσι
Νοστῆσαι Ὀδυσῆα πολύφρονα, ὅν δε δόμον δε.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Μνηστῆρες δ᾽ ἄρα Τηλεμάχῳ θάνατόν τε μόρον τε
Ἤρτυον, αὐτὰρ ὃ τοῖσιν ἀριστερὸς ἤλυθεν ὄρνις
Αἰετὸς ὑψιπέτης, ἔχε δὲ τρήρωνα πέλειαν,
Τοῖσιν δ᾽ Ἀμφίνομος ἀγορήσατο καὶ μετέειπεν.
Ὦ φίλοι οὐχ ἡμῖν συνθεύσεται ἥδε γε βουλὴ
Τηλεμάχοιο φόνος, ἀλλὰ μνησόμεθα δαιτός.
Ὣς ἔφατ᾽ Ἀμφίνομος, τοῖσιν δ᾽ ἐπιήνδανε μῦθος.
Ἐλθόντες δ᾽ ἐς δώματ᾽ Ὀδυσσῆος θείοιο,
Χλαίνας μὲν κατέθεντο κατὰ κλισμούς τε θρόνους τε.
Οἱ δ᾽ ἱέρευον ὄϊς μεγάλας καὶ πίονας αἶγας.

Ἱέρευον δὲ σύας σιάλους καὶ βοῦν ἀγελαίην.
Σπλάγχνα δ' ἄρ' ὀπτήσαντες ἐνώμων, ἐν δ' ἄρα οἶνον
Κρητῆρσι κεράσαντο, κύπελλα δὲ νεῖμε συβώτης.
Σῖτον δὲ σφ' ἐπένειμε Φιλοίτιος ὄρχαμος ἀνδρῶν,
Καλοῖς ἐν κανέοισιν, ἐῳνοχόει δὲ Μελανθεύς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον,
Τηλέμαχος δ' Ὀδυσῆα καθίδρυε κέρδεα νωμῶν,
Ἐντὸς ἐϋσταθέος μεγάρου παρὰ λάϊνον οὐδόν,
Δίφρον ἀεικέλιον παραθεὶς, ὀλίγην τε τράπεζαν.
Πὰρ δ' ἐτίθει σπλάγχνων μοίρας, ἐν δ' οἶνον ἔχευεν
Ἐν δέπαϊ χρυσέῳ, καί μιν πρὸς μῦθον ἔειπεν,
Ἐνταυθοῖ νῦν ἧσο μετ' ἀνδράσιν οἰνοποτάζων.
Κερτομίας δὲ τοι αὐτὸς ἐγὼ καὶ χεῖρας ἀφέξω
Πάντων μνηστήρων, ἐπεὶ οὔτι δήμιός ἐστιν
Οἶκος ὅδ', ἀλλ' Ὀδυσῆος, ἐμοὶ δ' ἐκτήσατο κεῖνος.
Ὑμεῖς δὲ μνηστῆρες, ἐπίσχετε θυμὸν ἐνιπῆς
Καὶ χεῖρας, ἵνα μή τις ἔρις καὶ νεῖκος ὄρηται.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ὀδὰξ ἐν χείλεσι φύντες,
Τηλέμαχον θαύμαζον, ὃ θαρσαλέως ἀγόρευεν,
Τοῖσιν δ' Ἀντίνοος μετέφη Εὐπείθεος υἱός.
Καὶ χαλεπόν περ ἐόντα δεχώμεθα μῦθον Ἀχαιοὶ
Τηλεμάχου, μάλα δ' ἧμιν ἀπειλήσας ἀγορεύει.
Οὐ γὰρ Ζεὺς εἴασε Κρονίων, τῷ κέ μιν ἤδη
Παύσαμεν ἐν μεγάροισι λιγύν περ ἐόντ' ἀγορητήν.
Ὣς ἔφατ' Ἀντίνοος, ὁ δ' ἄρ' οὐκ ἐμπάζετο μύθων.
Κήρυκες δ' ἀνὰ ἄστυ θεῶν ἱερὴν ἑκατόμβην
Ἦγον, τοὶ δ' ἀγέροντο καρηκομόωντες Ἀχαιοὶ
Ἄλσος ὕπο σκιερὸν ἑκατηβόλου Ἀπόλλωνος.
Οἱ δ' ἐπεὶ ὤπτησαν κρέ' ὑπέρτερα καὶ ἐρύσαντο,
Μοίρας δασσάμενοι, δαίνυντ' ἐρικυδέα δαῖτα.
Πὰρ Ὀδυσῆϊ μοῖραν θέσαν οἵ ῥ' ἐπένοντο
Ἴσην ὡς αὐτοί περ ἐλάγχανον, ὣς γὰρ ἀνώγει
Τηλέμαχος φίλος υἱὸς Ὀδυσσῆος θείοιο.
Μνηστῆρας δ' οὐ πάμπαν ἀγήνορας εἴα Ἀθήνη
Λώβης ἴσχεσθαι θυμαλγέος, ὄφρ' ἔτι μᾶλλον
Δύη ἄχος κραδίην Λαερτιάδην Ὀδυσῆα.
Ἦν δέ τις ἐν μνηστῆρσιν ἀνὴρ ἀθεμίστια εἰδώς,
Κτήσιππος ὄνομ' ἔσκε, Σάμῃ δ' ἐνὶ οἰκία ναίων.
Ὃς δή τοι κτεάτεσσι πεποιθὼς πατρὸς ἑοῖο
Μνάσκετ' Ὀδυσσῆος δὴν οἰχομένοιο δάμαρτα.
Ὅς ῥα τότε μνηστῆρσιν ὑπερφιάλοισι μετηύδα.
Κέκλυτέ μευ μνηστῆρες ἀγήνορες ὄφρα τι εἴπω.
Μοῖραν μὲν δὴ ξεῖνος ἔχει πάλαι ὡς ἐπέοικεν
Ἴσην, οὐ γὰρ καλὸν ἀτέμβειν οὐδὲ δίκαιον
Ξείνους Τηλεμάχου, ὅς κεν τάδε δώμαθ' ἵκηται.
Ἀλλ' ἄγε οἱ καὶ ἐγὼ δῶ ξείνιον, ὄφρα καὶ αὐτὸς

Ἠὲ λοε-

ἀεικέλιον.] εὐτελῆ. δήμιος.] δημόσιος. ἐπίσχετε. κατάσχετε. ἐνιπῆς.] ἐπιπλήξεως. ἐνιπὴ ἡ διὰ λόγων ἐπίπληξις καὶ ἀπειλή, ἀπὸ τοῦ ἐνέπω. ὃς δή τοι κτεάτεσσι πεποιθώς.] ἠθικῶς δείκνυσιν ὁ Ποιητής, ὅτι οὐδὲν συλλαμβάνει πλοῦτος πρὸς σωφροσύνην. ἀτέμβειν.] στερίσκειν. δῶ.] παράσχω.

λοετρό-

Ἠὲ λοετροχόῳ δώῃ γέρας ἠέ τῳ ἄλλῳ
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Ὣς εἰπών, ἔρριψε βοὸς πόδα χειρὶ παχείῃ
Κείμενον ἐκ κανέοιο λαβών· ὁ δ' ἀλεύατ' Ὀδυσσεύς
Ἦκα παρακλίνας κεφαλήν, μείδησε δὲ θυμῷ
Σαρδάνιον μάλα τοῖον· ὁ δ' εὔδμητον βάλε τοῖχον.
Κτήσιππον δ' ἄρα Τηλέμαχος ἠνίπαπε μύθῳ.
Κτήσιππ', ἦ μάλα τοι τόδε κέρδιον ἔπλετο θυμῷ,
Οὐκ ἔβαλες τὸν ξεῖνον· ἀλεύατο γὰρ βέλος αὐτός.
Ἦ γάρ κέν σε μέσον βάλον ἔγχεϊ ὀξυόεντι,
Καί κέ τοι ἀντὶ γάμοιο πατὴρ τάφον ἀμφεπονεῖτο,
Ἐνθάδε. τῷ μή τις μοι ἀεικείας ἐνὶ οἴκῳ
Φαινέτω· ἤδη γὰρ νοέω καὶ οἶδα ἕκαστα
Ἐσθλά τε καὶ τὰ χέρεια· πάρος δ' ἔτι νήπιος ἦα.
Ἀλλ' ἔμπης τάδε μὲν καὶ τέτλαμεν εἰσορόωντες
Μήλων σφαζομένων, οἴνοιό τε πινομένοιο,
Καὶ σίτου· χαλεπὸν γὰρ ἐρυκακέειν ἕνα πολλούς.
Ἀλλ' ἄγε μηκέτι μοι κακὰ ῥέζετε δυσμενέοντες.
Εἰ δ' ἤδη μ' αὐτὸν κτεῖναι μενεαίνετε χαλκῷ,
Καί κε τὸ βουλοίμην, καί κεν πολὺ κέρδιον εἴη
Τεθνάμεν, ἢ τάδε γ' αἰὲν ἀεικέα ἔργ' ὁράασθαι,
Ξείνους τε στυφελιζομένους, δμωὰς τε γυναῖκας
Ῥυστάζοντας ἀεικελίως κατὰ δώματα καλά.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ.
Ὀψὲ δὲ δὴ μετέειπε Δαμαστορίδης Ἀγέλαος.
Ὦ φίλοι, οὐκ ἂν δή τις ἐπὶ ῥηθέντι δικαίῳ
Ἀντιβίοις ἐπέεσσι καθαπτόμενος χαλεπαίνοι,
Μήτ' ἔτι τὸν ξεῖνον στυφελίζετε, μήτε τιν' ἄλλον
Δμώων, οἳ κατὰ δώματ' Ὀδυσσῆος θείοιο.
Τηλεμάχῳ δὲ κε μῦθον ἐγὼ καὶ μητέρι φαίην
Ἤπιον, εἰ σφῶϊν κραδίῃ ἅδοι ἀμφοτέροισιν,
Ὄφρα μὲν ὑμῖν θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει
Νοστήσαι' Ὀδυσῆα πολύφρονα ὃν δὲ δόμον δε,
Τόφρ' οὔτις νέμεσις μενέμεν τ' ἦν, ἰσχέμεναί τε,
Μνηστῆρας κατὰ δώματ', ἐπεὶ τό δε κέρδιον ἦεν.
Εἰ νόστησ' Ὀδυσεὺς καὶ ὑπότροπος ἵκετο δῶμα,
Νῦν δ' ἤδη τόδε δῆλον ὅτ' οὐκέτι νόστιμός ἐστιν.
Ἀλλ' ἄγε σῇ τάδε μητρὶ παρεζόμενος κατάλεξον
Γήμασθ' ὅστις ἄριστος ἀνὴρ καὶ πλεῖστα πόρῃσιν,
Ὄφρα σὺ μὲν χαίρων πατρώϊα πάντα νέμηαι
Ἔσθων καὶ πίνων, ἡ δ' ἄλλου δῶμα κομίζῃ.
Τὸν δ' αὖ Τηλέμαχος πεπνυμένος ἀντίον ηὔδα.
Οὐ μὰ Ζῆν' Ἀγέλαε, καὶ ἄλγεα πατρὸς ἐμοῖο
Ὅς που τῆλ' Ἰθάκης, ἢ ἔφθιται, ἢ ἀλάληται,
Οὔτι διατρίβω μητρὸς γάμον ἀλλὰ κελεύω
Γήμασθ' ᾧ κ' ἐθέλῃ, ποτὶ δ' ἄσπετα δῶρα δίδωμι.

Αἰδέομαι

λοετροχόῳ.] νέῳ τῷ τὰ λουτρὰ παρέχοντι, ἢ παρασκευάζοντι. Σαρδάνιον μάλα τοῖον.] σκληρὸς ἐπ' ὀλέθρῳ φησὶν τὸν Ἡφαιστότευκτον ὑπὸ Διὸς Εὐρώπῃ δοθέντα φύλακα τοὺς ἐπιβαίνοντας τῇ Κρήτῃ ἰδίως τιμωρεῖσθαι. πηδῶντα γὰρ εἰς πῦρ καὶ θερμαίνοντα τὸ στῆθος περιπτύσσεσθαι αὐτούς, ὧν καιομένων. ἐκεῖνον σεσηρέναι. ἔνιοι δὲ γίνεσθαι λέγουσιν ἐν Σαρδοῖ τῇ νήσῳ σέλινον τοιοῦτον, ὃ τοὺς φαγόντας ξένους μετὰ σπασμοῦ σεσηρότας ἀπόλλυσθαι ποιεῖ. τί μοι † δέ φησι τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς πρὸς βόθρον καὶ καταβάλλειν εἰς αὐτόν. τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν ἄλλοι δὲ ἄλλως. ἄμεινον δὲ τὸν ἐπὶ κακῷ μηνύσει προσποιητὸν γέλωτα. παρὰ τὸ σεσηρέναι. ὅ ἐστι ἀνοίγειν τὰ χείλη. μείδησε δὲ θυμῷ σαρδάνιον μάλα τοῖον.] οἱ τὴν Σάρδον κατοικοῦντες ἀπὸ Καρχηδονίων ὄντες. χρῶνται νόμῳ τινὶ βαρβαρικῷ καὶ πολὺ τῶν Ἑλληνικῶν διηλλαγμένῳ. τῷ γὰρ Κρόνῳ θύουσιν ἡμέραις τισὶ τεταγμέναις, οὐ μόνον τῶν αἰχμαλώτων τοὺς καλλίστους, ἀλλὰ καὶ τῶν πρεσβυτέρων τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη γεγενημένους. τούτους δὴ θυομένοις, τὸ μὲν δακρύειν αἰσχρὸν εἶναι δοκεῖ καὶ δῆλον, τὸ δὲ ἀσπάζεσθαι καὶ γελᾶν ἔσχατον. καὶ προϊόντων ἀνδρῶδές τε καὶ καλόν. ὅθεν φασὶ καὶ τὸν ἐπὶ κακῷ προσποιητὸν γέλωτα κληθῆναι σαρδόνιον. ἡ δὲ ἱστορία παρὰ Δήμωνι. ἀεικέας.] αἰκίας ἀπρεπεῖς. ῥυστάζοντας.] ῥυστάζειν γὰρ τὸ μετὰ βίας ἕλκειν. παρὰ τὸ ἐρύω. ἠύω. φαίην.] εἴποιμι. σφῶϊν.] αὐτοῖς. τὸ δὲ κέρδιον.] τὸ μὴ βαλεῖν. ἐπεὶ αὐτὸς ἀνῄρησο. ἢ τὸ βαλεῖν τὸν ξένον αἱρεῖται τὸ κόρδιον. νόστησε.] ἐπανῆλθεν. ὑπότροπος.] ὑποστρέψας. νέμηαι.] καρπίζῃ. διατρίβω.] κωλύω.

† τιμᾶσθ.

ἀναγκάζω.]

Αἰδέομαι δ' ἀέκουσαν ἀπὸ μεγάροιο δίεσθαι
Μύθῳ ἀναγκαίῳ, μὴ τοῦτο θεὸς τελέσειεν.
Ὣς φάτο Τηλέμαχος, μνηστῆρσι δὲ Παλλὰς Ἀθήνη
Ἄσβεστον γέλων ὦρσε, παρέπλαγξεν δὲ νόημα.
Οἱ δ' ἤδη γναθμοῖσι γελώων ἀλλοτρίοισιν,
Αἱμοφόρυκτα δὲ δὴ κρέα ἤσθιον, ὄσσε δ' ἄρα σφέων
Δακρυόφιν πίμπλαντο, γόον δ' ὠίετο θυμός.
Τοῖσι δὲ καὶ μετέειπε Θεοκλύμενος θεοειδής.
Ἆ δειλοί, τί κακὸν τόδε πάσχετε, νυκτὶ καὶ ὑμέων
Εἰλύαται κεφαλαί τε πρόσωπά τε νέρθε τε γοῦνα.
Οἰμωγὴ δὲ δέδηε, δεδάκρυνται δὲ παρειαί,
Αἵματι δ' ἐρράδαται τοῖχοι καλαί τε μεσόδμαι.
Εἰδώλων δὲ πλέον πρόθυρον, πλείη δὲ καὶ αὐλὴ
Ἱεμένων ἔρεβόσδε ὑπὸ ζόφον, ἠέλιος δὲ
Οὐρανοῦ ἐξαπόλωλε, κακὴ δ' ἐπιδέδρομεν ἀχλύς.
Ὣς ἔφαθ', οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν.
Τοῖσιν δ' Εὐρύμαχος Πολύβου παῖς ἦρχ' ἀγορεύειν.
Ἀφραίνει ξεῖνος νέον ἄλλοθεν εἰληλουθώς.
Ἀλλά μιν αἶψα νέοι δόμου ἐκπέμψασθε θύραζε
Εἰς ἀγορὴν ἔρχεσθαι, ἐπεὶ τάδε νυκτὶ ἐίσκει.
Τὸν δ' αὖτε προσέειπε Θεοκλύμενος θεοειδής.
Εὐρύμαχ', οὔτι σ' ἄνωγα ἐμοὶ πομπῆας ὀπάζειν.
Εἰσί μοι ὀφθαλμοί τε, καὶ οὔατα, καὶ πόδες ἄμφω,
Καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.
Τοῖς ἔξειμι θύραζε, ἐπεὶ νοέω κακὸν ὔμμιν
Ἐρχόμενον, τό κεν οὔ τις ὑπεκφύγοι οὐδ' ἀλέαιτο
Μνηστήρων, οἳ δῶμα κατ' ἀντιθέου Ὀδυσῆος
Ἀνέρας ὑβρίζοντες ἀτάσθαλα μηχανάασθε.
Ὣς εἰπὼν ἐξῆλθε δόμων εὖ ναιεταόντων.
Ἵκετο δ' ἐς Πείραιον ὅ μιν πρόφρων ὑπέδεκτο.
Μνηστῆρες δ' ἄρα πάντες ἐς ἀλλήλους ὁρόωντες,
Τηλέμαχον ἐρέθιζον ἐπὶ ξείνοιο γελῶντες.
Ὧδε δέ τις εἴπεσκε νέων ὑπερηνορεόντων.
Τηλέμαχ', οὔτι σεῖο κακοξεινώτερος ἄλλος.
Οἷον μέν τινα τοῦτον ἔχεις ἐπίμαστον ἀλήτην,
Σίτου καὶ οἴνου κεχρημένον, οὐδέ τι ἔργων
Ἔμπαιον, οὐδὲ βίης, ἀλλ' αὔτως ἄχθος ἀρούρης.
Ἄλλος δ' αὖτέ τις οὗτος ἀνέστη μαντεύεσθαι,
Ἀλλ' εἴ μοί τι πίθοιο τό κεν πολὺ κέρδιον εἴη.
Τοὺς ξείνους ἐν νηὶ πολυκληῖδι βαλόντες
Ἐς Σικελοὺς πέμψωμεν ὅθεν κέ τοι ἄξιον ἄλφοι.
Ὣς ἔφασαν μνηστῆρες, ὁ δ' οὐκ ἐμπάζετο μύθων.
Ἀλλ' ἀκέων πατέρα προσεδέρκετο δέγμενος αἰεὶ
Ὁππότε δὴ μνηστῆρσιν ἀναιδέσι χεῖρας ἐφήσει.
Ἡ δὲ κατ' ἄντηστιν θεμένη περικαλλέα δίφρον
Κούρη Ἰκαρίοιο περίφρων Πηνελόπεια

Ἀνδρῶν

ἀναγκαίῳ.] ἀναγκαστικῷ. παρέπλαγξεν.] ἐξηπάτησεν. αἱμοφόρυκτα. αἵματι μεμολυσμένα. εἰλύαται.] κεκαλυμμένα ἐστιν. δέδηε.] διεγήγερται. δεδάκρυνται.] δακρύων πεπλήρωνται. ἐρράδαται.] περιρέρανται. ἠέλιος δὲ οὐρανοῦ ἐξαπόλωλεν.] οὐχ ὡς ἐκλείψεως γεγενημένης, ἀλλ' ὅτι τοῖς μνηστῆρσιν ὁ ἥλιος ἐκλελοίπει. ἐξέρχεται δὲ οὗτος ἐκ τῆς οἰκίας οἰκονομικῶς. ἀχλύς.] ἀορασία. ἀφραίνει.] μωραίνει. γελόωντες.] γελωτοποιούμενοι, καταγελῶντες. κακοξεινώτερος.] κακῶν ξένων ὑποδοχεύς. ἐπίμαστον.] ἐπιμαστεύοντα, καὶ ἐπιζητοῦντα. ἔμπαιοι.] ἔμπειροι. ἐς Σικελούς.] ἐγινώσκετο. ἄρα τὰ κατὰ τοὺς Σικελούς. οὐκ εἰκὸς οὖν ἐκεῖ τὴν πλάνην γεγονέναι. διαφέρουσι δὲ Σικελιῶται Σικελῶν. οἱ μὲν γὰρ ἕλληνες οἱ δὲ βάρβαροι. προσεδέρκετο. προσέβλεπε. κατ' ἄντηστιν.] ἀντικρὺς τοῦ ἀνδρῶνος ἐν τῇ γυναικωνίτιδι.

XX

μεγοακίς.]

μενοεικές.] δαψιλές. πολύ. ἀχαρίστερον. ἀηδέστερον.

Ἀνδρῶν ἐν μεγάροισιν, ἑκάστου μῦθον ἄκουε.
Δεῖπνον μὲν γάρ τοί γε γελοίωντες τετύκοντο
Ἡδύ τε καὶ μενοεικὲς, ἐπεὶ μάλα πόλλ' ἱέρευσαν.
Δόρπου δ' οὐκ ἄν πως ἀχαρίστερον ἄλλο γένοιτο,
Οἷον δὴ τάχ' ἔμελλε θεὰ καὶ καρτερὸς ἀνὴρ
Θησέμεναι, πρότεροι γὰρ ἀεικέα μηχανόωντο.

ΟΔΥΣΣΕΙΑΣ

# ΥΠΟΘΕΣΙΣ ΤΗΣ Φ ΤΟΥ
## ΟΜΗΡΟΥ ΡΑΨΩιΔΙΑΣ.

Πηνελόπη τῷ τείνοντι τὸ τόξον ὁμολογεῖ τὸν ἑαυτῆς γάμον. Ὀδυσσεὺς δὲ Εὐμαίῳ καὶ Φιλοιτίῳ ἐντειλάμενος περὶ τῆς τῶν θυρῶν ἀσφαλείας, αὐτὸς ἐφίησι τὸ βέλος διὰ τῶν πελέκεων, ἄλλου τεῖναι μὴ δυνηθέντος.

ΣΧΟΛΙΑ